ἢ δ' εἰς ἔλεγχον μὴ πέσῃ φοβουμένη
ψευδεῖς γραφὰς ἔτευξε καὶ διώλεσεν
δόλοισι σὸν παῖδ', ἀλλ' ὅμως ἔπεισέ σε.
ΘΗ. οἴμοι.
ΑΡ. δάκνει σε, Θησεῦ, μῦθος; ἀλλ' ἔχ' ἥσυχος,
τοὐνθένδ' ἀκούσας ὡς ἂν οἰμώξῃς πλέον.
ἆρ' οἶσθα πατρὸς τρεῖς ἀρὰς ἔχων σαφεῖς;
ὧν τὴν μίαν παρεῖλες, ὦ κάκιστε σύ,
ἐς παῖδα τὸν σόν, ἐξὸν εἰς ἐχθρόν τινα.
πατὴρ μὲν οὖν σοι πόντιος φρονῶν καλῶς
ἔδωχ' ὅσονπερ χρῆν, ἐπείπερ ᾔνεσεν·
σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνῃ κακός,
ὃς οὔτε πίστιν οὔτε μάντεων ὄπα
ἔμεινας οὐδ' ἤλεγξας, οὐ χρόνῳ μακρῷ
σκέψιν παρέσχες, ἀλλὰ θᾶσσον ἤ σε χρῆν
ἀρὰς ἐφῆκας παιδὶ καὶ κατέκτανες.
ΘΗ. δέσποιν', ὀλοίμην. ΑΡ. δείν' ἔπραξας, ἀλλ' ὅμως
ἔτ' ἔστι καί σοι τῶνδε συγγνώμης τυχεῖν·
Κύπρις γὰρ ἤθελ' ὥστε γίγνεσθαι τάδε,
πληροῦσα θυμόν. θεοῖσι δ' ὧδ' ἔχει νόμος·
οὐδεὶς ἀπαντᾶν βούλεται προθυμίᾳ
τῇ τοῦ θέλοντος, ἀλλ' ἀφιστάμεσθ' ἀεί.
ἐπεὶ σάφ' ἴσθι, Ζῆνα μὴ φοβουμένη
οὐκ ἄν ποτ' ἦλθον ἐς τόδ' αἰσχύνης ἐγὼ
ὥστ' ἄνδρα πάντων φίλτατον βροτῶν ἐμοὶ
θανεῖν ἐᾶσαι. τὴν δὲ σὴν ἁμαρτίαν

---

1310 ἦδ' *LP* | πέσοι Blomfield 1311 ἔτευξε ut videtur, nisi est ἔταξε, *E*, ἔγραψε ceteri 1312 παῖδ' (δ' in ras.) *L* 1313 οἴμοι αἶ αἶ αἶ αἶ αἶ *C* | θησεῦ om. *P* 1314 οἰμώξῃς *L*, sed ῃς corr. vel rescr. *l*, οἰμώξῃ *P* 1315 ἄχθ' οἶσθα *C* | ἔχων σαφεῖς *E*, σαφεῖς ἔχων ceteri (ἔχειν *C*) 1317 ἐχθρῶν *b* (et Elmsley) 1318 φρονῶν *L*, sed ο ex ε corr. m. secunda 1319 χρῆν *LP*, ἐχρῆν *EaBC* | ᾔνεσε *aBC* 1320 κἀν ἐμοὶ *B* 1321 μάντεως Eustath. in Il. p. 488 1322 οὐδ' *aCLP*, οὐκ *EB* | μακρῶ χρόνω *B* 1323 παρέσχες *EaBC*, γ' (in lit. *P*) ἔνειμας *LP*, cfr. Eustath. l. l. | σε χρῆν *L*, σ' ἐχρῆν ceteri 1324 ἐφῆκας *C*, ἀφῆκας ceteri | κατέκτανας *L* 1325 ὀλοίμαν *P* 1326 ἔνεστι *E* | σοι καὶ *C*, καὶ σοὶ ceteri, σοὶ κἀκ Nauck 1327 γίνεσθαι *CLP* | τάδε *CL* (ά in ras.) *P*, τόδε *EaB* 1330 γρ. μέλλοντος $a^3$ | ἀφιστάμεσθ' *L*, sed εσ rescr. vel corr. *l*, ἀφιστάμεθ' *E* 1331 οἶσθα *L*, ἴσθι ceteri 1333 ἐμοὶ βροτῶν *CLP*

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG